# Πρὸς Φιλήμονα

**1** Παῦλος δέσμιος[a] Χριστοῦ Ἰησοῦ καὶ Τιμόθεος[b] ὁ ἀδελφὸς Φιλήμονι[c] τῷ
ἀγαπητῷ καὶ συνεργῷ[d] ἡμῶν 2 καὶ Ἀπφίᾳ[a] τῇ ⸀ἀδελφῇ[b] καὶ Ἀρχίππῳ[c] τῷ
συστρατιώτῃ[d] ἡμῶν καὶ τῇ κατ᾽ οἶκόν σου ἐκκλησίᾳ· 3 χάρις ὑμῖν καὶ εἰρήνη
ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ. 4 Εὐχαριστῶ[a] τῷ θεῷ μου
πάντοτε μνείαν[b] σου ποιούμενος[c] ἐπὶ τῶν προσευχῶν μου, 5 ἀκούων[a] σου τὴν
ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις[b] ⸀πρὸς τὸν κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς
ἁγίους, 6 ὅπως ἡ κοινωνία[a] τῆς πίστεώς σου ἐνεργὴς[b] γένηται[c] ἐν ἐπιγνώσει[d]
παντὸς ἀγαθοῦ ⸀τοῦ ἐν ἡμῖν εἰς ⸀Χριστόν· 7 ⸀χαρὰν γὰρ ⸂πολλὴν ἔσχον⸃[a] καὶ
παράκλησιν[b] ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα[c] τῶν ἁγίων ἀναπέπαυται[d]
διὰ σοῦ, ἀδελφέ. 8 Διό, πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων[a] ἐπιτάσσειν[b] σοι τὸ
ἀνῆκον,[c] 9 διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ,[a] τοιοῦτος ὢν[b] ὡς Παῦλος
πρεσβύτης[c] νυνὶ[d] δὲ καὶ δέσμιος[e] ⸂Χριστοῦ Ἰησοῦ⸃— 10 παρακαλῶ[a] σε περὶ
τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα[b] ἐν τοῖς ⸀δεσμοῖς[c] Ὀνήσιμον,[d] 11 τόν ποτέ σοι
ἄχρηστον[a] νυνὶ[b] ⸀δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον,[c] 12 ὃν ἀνέπεμψά[a] ⸂σοι αὐτόν,
τοῦτ᾽ ἔστιν[b] τὰ ἐμὰ σπλάγχνα⸃·[c] 13 ὃν ἐγὼ ἐβουλόμην[a] πρὸς ἐμαυτὸν
κατέχειν,[b] ἵνα ὑπὲρ σοῦ ⸂μοι διακονῇ⸃[c] ἐν τοῖς δεσμοῖς[d] τοῦ εὐαγγελίου,

---

**Chapter 1**

1 a NNMS δέσμιος *prisoner*
b NNMS Τιμόθεος *Timothy*
c NDMS Φιλήμων *Philemon*
d NDMS συνεργός *fellow worker*
2 a NDFS Ἀπφία *Apphia*
b NDFS ἀδελφή *sister*
c NDMS Ἄρχιππος *Archippus*
d NDMS συστρατιώτης *fellow soldier*
4 a V1SPAI
b NAFS μνεία *remembrance*
c VPPMNMS
5 a VPPANMS
b V2SPAI
6 a NNFS κοινωνία *fellowship*
b NNFS ἐνεργής *active*
c V3SAMS
d NDFS ἐπίγνωσις *knowledge*
7 a V1SAAI
b NAFS παράκλησις *encouragement*
c NNNP σπλάγχνον *intestines*
d V3SRPI ἀναπαύω *to rest*
8 a VPPANMS
b VNPA ἐπιτάσσω *to command*
c VPPAANS ἀνήκω *to be fitting*
9 a V1SPAI
b VPPANMS
c NNMS πρεσβύτης *older man*
d νυνί *now*
e NNMS δέσμιος *prisoner*
10 a V1SPAI
b V1SAAI
c NDMP δεσμός *chain*
d NAMS Ὀνήσιμος *Onesimus*
11 a NAMS ἄχρηστος *useless*
b νυνί *now*
c NAMS εὔχρηστος *useful*
12 a V1SAAI ἀναπέμπω *to send*
b V3SPAI
c NANP σπλάγχνον *intestines*
13 a V1SIMI
b VNPA κατέχω *to hold back*
c V3SPAS
d NDMP δεσμός *chain*

14 χωρὶς δὲ τῆς σῆς[a] γνώμης[b] οὐδὲν ἠθέλησα[c] ποιῆσαι,[d] ἵνα μὴ ὡς κατὰ
ἀνάγκην[e] τὸ ἀγαθόν σου ᾖ[f] ἀλλὰ κατὰ ἑκούσιον·[g] 15 τάχα[a] γὰρ διὰ τοῦτο
ἐχωρίσθη[b] πρὸς ὥραν ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς,[c] 16 οὐκέτι ὡς δοῦλον ἀλλὰ
ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητόν, μάλιστα[a] ἐμοί, πόσῳ[b] δὲ μᾶλλον σοὶ καὶ ἐν
σαρκὶ καὶ ἐν κυρίῳ. 17 Εἰ οὖν με ἔχεις[a] κοινωνόν,[b] προσλαβοῦ[c] αὐτὸν ὡς ἐμέ.
18 εἰ δέ τι ἠδίκησέν[a] σε ἢ ὀφείλει,[b] τοῦτο ἐμοὶ ⸀ἐλλόγα·[c] 19 ἐγὼ Παῦλος
ἔγραψα[a] τῇ ἐμῇ χειρί, ἐγὼ ἀποτίσω·[b] ἵνα μὴ λέγω[c] σοι ὅτι καὶ σεαυτόν μοι
προσοφείλεις.[d] 20 ναί, ἀδελφέ, ἐγώ σου ὀναίμην[a] ἐν κυρίῳ· ἀνάπαυσόν[b] μου
τὰ σπλάγχνα[c] ἐν ⸀Χριστῷ. 21 πεποιθὼς[a] τῇ ὑπακοῇ[b] σου ἔγραψά[c] σοι, εἰδὼς[d]
ὅτι καὶ ὑπὲρ ⸀ἃ λέγω[e] ποιήσεις.[f] 22 ἅμα[a] δὲ καὶ ἑτοίμαζέ[b] μοι ξενίαν,[c]
ἐλπίζω[d] γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι[e] ὑμῖν.
23 ⸀Ἀσπάζεταί[a] σε Ἐπαφρᾶς[b] ὁ συναιχμάλωτός[c] μου ἐν Χριστῷ Ἰησοῦ,
24 Μᾶρκος,[a] Ἀρίσταρχος,[b] Δημᾶς,[c] Λουκᾶς,[d] οἱ συνεργοί[e] μου. 25 Ἡ χάρις
τοῦ ⸀κυρίου Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ⸀ὑμῶν.

---

14 a NGFS *σός your*
b NGFS γνώμη *purpose*
c V1SAAI
d VNAA
e NAFS ἀνάγκη *necessity*
f V3SPAS
g NANS ἑκούσιος *spontaneous*
15 a *τάχα perhaps*
b V3SAPI χωρίζω *to divide*
c V2SAAS ἀπέχω *to receive*
16 a *μάλιστα especially*
b NDNS *πόσος how great?*
17 a V2SPAI
b NAMS *κοινωνός partner*
c V2SAMM προσλαμβάνομαι *to take aside*
18 a V3SAAI *ἀδικέω to do wrong*
b V3SPAI
c V2SPAM ἐλλογέω *to be charged to one's account*
19 a V1SAAI
b V1SFAI ἀποτίνω *to pay back*
c V1SPAS
d V2SPAI προσοφείλω *to owe*
20 a V1SAMO ὀνίνημι *to have benefit*
b V2SAAM ἀναπαύω *to rest*
c NANP σπλάγχνον *intestines*
21 a VPRANMS
b NDFS ὑπακοή *obedience*
c V1SAAI
d VPRANMS
e V1SPAI
f V2SFAI
22 a ἅμα *together*
b V2SPAM
c NAFS ξενία *place to stay*
d V1SPAI
e V1SFPI χαρίζομαι *to give grace*
23 a V3SPMI
b NNMS Ἐπαφρᾶς *Epaphras*
c NNMS συναιχμάλωτος *fellow prisoner*
24 a NNMS Μᾶρκος *Mark*
b NNMS Ἀρίσταρχος *Aristarchus*
c NNMS Δημᾶς *Demas*
d NNMS Λουκᾶς *Luke*
e NNMP συνεργός *fellow worker*